# TEZAUR LITURGIC

## 1 FEBRUARIE

## ISIDORA AGHIROTITISSA

# CANONUL SF.10 MUCENICI DE LA MEGARA II

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 01 ΦΕΒΡΟΥΑΡΙΟΥ

# ΜΕΓΑΡΩΝ 10 ΜΑΡΤΥΡΕΣ

# ΚΑΝΩΝ 02

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Οὗ ἡ ἀκροστιχίς: *Μεγάρων ᾄδω δεκαυγῆ Μαρτυρικὴν χορείαν.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός. Ἀνοίξω τὸ στόμα μου.

Μαρτύρων βουλόμενος, ᾄσαι δεκάδα τὴν ἔνδοξον, Κυρίῳ ἐξέτεινα, τὰς χεῖρας Χάριν αἰτῶν, τῷ ἐκτείναντι, Σταυρῷ ἀχράντους χεῖρας, καὶ Χάριν πηγάσαντι πᾶσι ζωήῤῥυτον.

Ἐκ γῆς ὥσπερ εὔοσμα, ῥόδα Μαρτύρων ἐπέφαναν, τὰ πάνσεπτα Λείψανα, τῆς ἀθανάτου ζωῆς· παρεχόμενα, τὴν θείαν εὐωδίαν, καὶ Πνεύματος νέμοντα πλοῦτον ὑπέρτιμον.

Γηθόμενοι σήμερον, δεῦτε πιστοὶ ἀνυμνήσωμεν, δεκάδα τὴν εὔηχον, τῶν ἱερῶν Ἀθλητῶν, τὴν ὑμνήσασαν, ἐν μέσῳ τοῦ σταδίου, ἀνάρχου Θεότητος, Κράτος μονόσεπτον.

Θεοτοκίον.

Ἀγγέλων εὐπρέπεια, καὶ τῶν Μαρτύρων ἀγλάϊσμα, ὑπάρχουσα Δέσποινα, ταῖς ἱκεσίαις ταῖς σαῖς· τὴν καρδίαν μου, εὐπρέπισον ὑμνῆσαι, Μεγάρων τοὺς Μάρτυρας, κλέος τὸ τίμιον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός. Τοὺς Σοὺς ὑμνολόγους Θεοτόκε.

Ῥανίσι αἱμάτων θεοῤῥύτων, Μεγάρων ἠρδεύσατε τὴν γῆν, Κυρίῳ δὲ προσήχθητε, σεπτὸν ὡς καλλιέρημα, τῆς πίστεως τὸ τάλαντον, Μαρτυρικῶς ἐπαυξήσαντες.

Ὡς στέρξαντες Νόμου τὸν Δοτῆρα, βουλὰς τῶν ἀνόμων δικαστῶν, οἱ Μάρτυρες ἠλόγησαν, πρὸς αἰκισμοὺς δὲ ἔδραμον, τὸν νόμον τὸν τῆς Χάριτος, μέσον σταδίου τρανώσαντες.

Νυκτὸς τῶν εἰδώλων τῆς ζοφώδους, τὸ σκότος μειώσαντες πρὸς φῶς, τῆς πίστεως ἰθύνατε, ἡμᾶς Κυρίου Μάρτυρες· ἀστέρες ὡς ὑπέρφωτοι, τῆς Τρισηλίου Θεότητος.

Θεοτοκίον.

Ἀνήροτος ἄρουρα τὸν στάχυν, βλαστήσασα τὸν ζωοποιόν, ὑπάρχουσα Πανάμωμε, κἀμὲ βλαστάνειν ποίησον, καρπὸν ἑκατοστεύοντα, τῆς μετανοίας ἐν δάκρυσιν.

Ὠδὴ δ΄. Ὁ Εἱρμός. Ὁ καθήμενος ἐν δόξῃ.

Διωκόντων τὴν μανίαν ἀνδρικῶς ἀπεκρούσαντο, τὸν Σταυρὸν ὡς ὅπλον, φέροντες οἱ ἔνδοξοι Μάρτυρες, τὴν πρὸς τὸν κτίστην δὲ πίστιν, ὥσπερ θώρακα, ὅθεν ἔσβεσαν, βέλη ἐχθροῦ πολεμήτορος.

Ὡς ἀμπέλου τῆς ἁγίας τιμιώτατα κλήματα, τῷ Χριστῷ ὡς βότρυν αἵματα σεπτὰ προσενήνοχαν, τοῦ Μαρτυρίου τὸν οἶνον ἀποστάζοντα, τὸν ἀείζωον, πλήθη πιστῶν τε εὐφραίνοντα.

Δρόσον πνεύματος τοῦ θείου δαψιλῶς ἐπαρδεύετε, ὡς πυρὰν βασάνων Μάρτυρες στεῤῥῶς καρτερήσαντες, καὶ ἰαμάτων τὴν Χάριν τὴν ἀδάπανον, τοῖς προστρέχουσι, πόθῳ Ὑμῶν ἐν τῇ λάρνακι.

Θεοτοκίον.

Ἐν γαστρί σου Θεὸν Λόγον τὸν Πατρὶ συναΐδιον, ὑπεδέξω Κόρη σάρκα δι᾽ ἡμᾶς ἐνδυσάμενον, καὶ ἀφθαρσίας χιτῶνα ἐπενδύοντα, τοὺς βοῶντάς σου· Δόξα Ἁγνὴ τῇ κυήσει σου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός. Ἐξέστη τὰ σύμπαντα.

Κροτήσωμεν ᾄσμασι, πνευματικὴν πανήγυριν, πλήθη Μεγαρέων ὁμοφρόνως, ἄθλους Μαρτύρων ἀνευφημοῦντες σεπτῶς, καὶ τούτοις ὡς ἔδεσμα τερπνόν, πόμα τε σωτήριον, ψυχικῶς ἐντρυφήσωμεν.

Ἀκύμαντον ἔφθασαν, πρὸς ὅρμον θείου Πνεύματος· αὔρα τῆς ψυχῆς αὐτῶν ὁλκάδα, πόνους μυρίους καθυποστάντες στεῤῥῶς, οἱ ἔνδοξοι Μάρτυρες Χριστοῦ, πάντας ἐκ τοῦ κλύδωνος, τῶν παθῶν ἐκλυτρούμενοι.

Ὑψίστῳ ἀνέμελπον, ἀπὸ ψυχῆς οἱ Μάρτυρες· ὕμνον ἐπινίκιον ἀπαύστως, χείλεσι θείοις ἀναβοῶντες Αὐτῷ, προσδέχου ἡμῶν Παμβασιλεῦ, στίγματα καὶ μώλωπας, ὡς εὐῶδες θυμίαμα.

Θεοτοκίον.

Γραφαὶ προφητόφθεγκτοι, ἐν σοὶ τὸ πέρας ἔλαβον Μήτηρ τοῦ Ὑψίστου γὰρ ἐγένου, Τοῦτον ἀφράστως

ἀποτεκοῦσα Ἁγνή, τὸν λύσαντα Εὔας τὴν ἆραν, πᾶσί τε πηγάζοντα, εὐλογίας τὴν ἄβυσσον.

Ὠδὴ στ΄. Ὁ Εἱρμός. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἡμεῖς, Θεὸν οὐκ ἀρνούμεθα, οἱ Μάρτυρες εὐτόνως ἐβόησαν τυράννοις ἔμπροσθεν, πάντα πανσόφως τὸν κτίσαντα, κἂν εἰς μυρίους πόνους ἡμᾶς ἐκδώσητε.

Μεγάρων, πλοῦτος ὑπάρχουσι, οἱ τάφοι τῶν Μαρτύρων ὡς κρύψαντες ὄλβια Λείψανα, ἐξ᾽ ὧν ἰάσεις πηγάζουσι, καὶ τῶν ψυχῶν ἡ ῥῶσις ἀφθόνως δίδοται.

Ἀγγέλωνμ δῆμοι ἐθαύμαζον, ἀθλοῦντας ἐνορῶντες τοὺς Μάρτυρας, πῶς ὡς ἀδάμαντες, μέσῳ βασάνων διέμειναν, καὶ ὡς τρυφὰς ἡγοῦντο σαρκὸς παθήματα.

Θεοτοκίον.

Ῥητόρων γλῶσσαι πολύφθογγοι, σιγῶσι ἐπὶ σοὶ Μητροπάρθενε ἀσπόρου τόκου σου, τρόπον λαλεῖν οὐ δυνάμενοι, ἐν σῇ γαστρὶ γὰρ Κόρη Θεὸς ἐσκήνωσε.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός. Οὐκ ἐλάτρευσαν.

Τοῖς θεσπίσμασι, τοῦ νόμου Σου ὑπείκοντες, οἱ θεῖοι Μάρτυρες· ἀψύχοις σέβας θεοῖς, μηδόλως ποιήσαντες, αἴνεσιν ἔμελπον, δόξα λέγοντες, τῷ ὑπ᾽ Ἀγγέλων Ἄνακτι, εἰς αἰῶνας ὑμνουμένῳ.

Ὕλην ἅπασαν, εἰδώλων καταφλέξαντες, πυρὶ τοῦ Πνεύματος· δεκὰς Μαρτύρων Χριστοῦ, τὸ ὕδωρ προχέουσι Χάριτος ἅπασιν, καὶ εὐφραίνουσι, τοὺς μελῳδοῦντας ᾄσμασιν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ῥάβδῳ πίστεως, τὸν δρόμον περαιώσαντες, πικρῶν κολάσεων στεῤῥοὶ Χριστοῦ Ἀθληταί, πρὸς θάλψιν μετέβητε, ἔνθα ἀγάλλεσθε· ἀναμέλποντες, δεδοξασμένε Κύριε, σὲ ὑμνοῦμεν εἰς αἰῶνας.

Θεοτοκίον.

Ἱκετεύουσα, μὴ παύσῃ τὸν Φιλάνθρωπον, Θεὸν ὃν ἔτεκες εἰρήνην δοῦναι ἡμῖν, Παρθένε Πανάχραντε, λύσιν πταισμάτων τε· τοῖς κραυγάζουσι, σὺν τῷ Ἀγγέλῳ Χαῖρέ σοι. εἰς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ η΄. Ὁ Εἱρμός. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Κόσμος πανυπέρτιμος τῇ κτίσει, ὁ δῆμος τῶν Ἀθλοφόρων ἀναδέδεικται, στέφος ἀγλαόφωτον, τίμιον διάδημα, τῆς ἐκκλησίας πρόσωπον φαιδρύνων κάλλεσι, καὶ λάμψεσι σεπτοῦ Μαρτυρίου, οὓς ἀνευφημοῦμεν, πιστοὶ εἰς τοὺς αἰῶνας.

Ἥλοις τὸν παγέντα ἑκουσίως, ἀτρέπτως δεκὰς Μαρτύρων ἠκολούθησε, πάθη ὑπομείναντες· σθένει τοῦ νικήσαντος, τὴν δυναστείαν ἅπασαν δολίου δράκοντος· τὸν τίμιον, Σταυρὸν προσκυνοῦντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Νάρδος ὡς σεπτή τε καὶ εὐώδης, τὸ μύρον τῆς Οὐρανίου ὡραιότητος, πᾶσι τὸ ἀκένωτον, βρύουσιν οἱ Μάρτυρες, καὶ ἡδυπνόου Χάριτος κρατῆρα πάντερπνον, τὰ νάματα, ψυχαῖς ἐκτακείσαις, καύσωνι ἀγνοίας, ἀρδεύοντα πλουσίως.

Θεοτοκίον.

Χρέους ὁ Ἀδὰμ ἀπελυτρώθη, καὶ Εὔα τῆς παρηκόου κατακρίσεως, τόκῳ ἀποῤῥήτῳ Σου· Πάναγνε Μητρόθεε, ὃν προσκυνοῦντες χείλεσι καρδίας λέγομεν, τὴν ἄφεσιν παράσχου Οἰκτίρμον, πᾶσι τοῖς ὑμνοῦσι, τὴν Σὴν μεγαλωσύνην.

Ὠδὴ θ΄. Ὁ Εἱρμός. Ἅπας γηγενής.

Ὄμμασι ψυχῆς, Κυρίῳ ἠτένιζον, ἀνακρινόμενοι· Ἐν σταδίῳ Μάρτυρες, σὺν Δωροθέῳ θεῖος Ἰάκωβος, καὶ Σεραφεὶμ ὁ πάντιμος, καὶ ἱερώτατος, τῶν Μεγάρων, χθόνα οἱ κοσμήσαντες, Ἐκκλησίαν Χριστοῦ οἱ τιμήσαντες.

Ῥάνατε ἡμῖν, τοὺς ὄμβρους τῆς Χάριτος, ὦ χαριτώνυμοι· ταῖς θερμαῖς δεήσεσιν, πρὸς τὸν Δεσπότην θεῖε Βασίλειε, καὶ θαυμαστὲ Δημήτριε, οἱ ἀριστεύσαντες, καὶ τῆς νίκης· στέφος θεοστόλιστον, ζωηφόρῳ χειρὶ κομισάμενοι.

Ἔκραζε Θεῷ, Σαράντης ἐν σκάμματι, ἀγωνιζόμενος· κράτος σου τὸ ἄμαχον, κἀμοὶ παράσχου μόνε Ἀθάνατε, τῶν δυσμενῶν παράταξιν, ὅπως τροπώσομαι, καὶ δοξάσω· πᾶσι Σὴν ἀνείκαστον, δυναστείαν Σωτὴρ Παντοδύναμε.

Ἴθυναν ψυχάς, λιμένα πρὸς εὔδιον, καὶ ἀκλυδώνιστον, καὶ Χριστῷ προσήρμοσαν, πιστῶν τὰ πλήθη Πλάτων Γεώργιος, Ἀδριανὸς Πολύευκτος οἱ ἀξιέραστοι, οὓς ὑμνοῦντες· χαίροις ἀνακράζομεν, τῶν Μαρτύρων τετρὰς ἡ ὁμόαθλος.

Δόξα. Τριαδικόν.

Ἄναξ Οὐρανοῦ, εὐσπλάγχνως ἐπίβλεψον, τοῖς Σοι λατρεύουσι, καὶ ἀντικατάπεμψον, Θεότης μία Χάριν τρισάκτινον, τοῦ καθορᾶν τῆς δόξης σου τὴν ὡραιότητα, καὶ βοᾶν σοι· Δόξα τῇ ἀφάτῳ Σου, καὶ ἀπείρῳ στοργῇ Ὑπεράγαθε.

Καὶ νῦν. Θεοτοκίον.

Νεῦσον τῇ ἡμῶν, πτωχείᾳ Πανένδοξε, Θεογεννήτρια· καὶ τῇ μεσιτείᾳ Σου, παράσχου Κόρη πᾶσι τὸ πλούσιον, τοῦ σοῦ Υἱοῦ ἀπαύγασμα, τῆς ἀγαθότητος, ἵνα πάντες· Χαῖρε μελωδοῦμέν σοι, τῶν Χαρίτων Ἁγνὴ τὸ κειμήλιον.

Ἀπολυτίκιον. Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν Μαρτύρων δεκάδα, δεῦτε ὑμνήσωμεν, σὺν Γεωργίῳ τῷ θείῳ Ἀδριανὸν τὸν στεῤῥόν, τὸν Πολύευκτον, ὁμοῦ, κλεινόν τε Πλάτωνα· σὺν Δωροθέῳ Σεραφεὶμ καὶ Ἰάκωβον πιστοί, Βασίλειον θεηγόρον, καὶ Δημήτριον σὺν Σαράντη, τῶν Μεγαρέων τοὺς ἀμάχους φρουρούς.

Δίστιχα.

*Εἰς ὀσμὴν ὦ Μάρτυρες κρείττονος εὐωδίας,*
*ἐκ καρδίας δέξασθε πανευδεοῦς τὸν ὕμνον.*
*Τὸν Δεσπότην μέλποντες τοῦ Μαρτυρίου αἴνῳ,*
*πτωχῶν ᾀσμάτων μου πλοκάς, προσδέξασθε ἀσμένως.*

